Ακαδημία Αθηνών / Academy of Athens

**ὁμοῦ 1.** Μαζὶ/σὲ ἀχώριστο σύνολο, together/in an unseparated whole, Παρμενίδης 8.5 *ἔστιν ὁ μ ο ῦ πᾶν, ἕν, συνεχὲς* Ἀναξαγόρας 1.1-3 *ὁ μ ο ῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα... καὶ πάντων ὁ μ ο ῦ ἐόντων οὐδὲν ἔνδηλον ἦν ὑπὸ σμικρότητος* 4.13 *πρὶν δὲ ἀποκριθῆναι ταῦτα πάντων ὁ μ ο ῦ ἐόντων οὐδὲ χροιὴ ἔνδηλος ἦν οὐδεμία* 6.6 *εἶναι καὶ νῦν πάντα ὁ μ ο ῦ* **2.** Μαζὶ/συνάμα, together/alike, Παρμενίδης 9.3 *πᾶν πλέον ἐστὶν ὁ μ ο ῦ φάεος καὶ νυκτὸς ἀφάντου.*

**ὁμουρεῖν.** Συνορεύω/ἔρχομαι σὲ ἐπαφή, border on/come into contact, Μέλισσος 8(3) *ὅ τε σίδηρος σκληρὸς ἐὼν τῷ δακτύλῳ κατατρίβεσθαι ὁ μ ο υ ρ έ ω ν, καὶ χρυσὸς καὶ λίθος.*

**ὁμοφροσύνη.** Ὁμοφροσύνη, community of mind and feeling, Δημόκριτος 186 *ὁ μ ο φ ρ ο σ ύ ν η φιλίην ποιεῖ.*

**ὁμόφυλος.** Ὁμοειδὴς/συγγενικός, of the same race/akin, Φιλόλαος 6.8-11-12 *ἐπεὶ δὲ ταὶ ἀρχαὶ ὑπᾶρχον οὐχ ὁμοῖαι οὐδ' ὁ μ ό φ υ λ ο ι ἔσσαι, ἤδη ἀδύνατον ἦς κα αὐταῖς κοσμηθῆναι, εἰ μὴ ἁρμονία ἐπεγένετο ᾧτινιῶν ἅδε τρόπῳ ἐγένετο. τὰ μὲν ὦν ὁμοῖα καὶ ὁ μ ό φ υ λ α ἁρμονίας οὐδὲν ἐπεδέοντο, τὰ δὲ ἀνόμοια μηδὲ ὁ μ ό φ υ λ α μηδὲ ἰσοταγῆ ἀνάγκα τᾷ τοιαύτᾳ ἁρμονίᾳ συγκεκλεῖσθαι, οἵᾳ μέλλοντι ἐν κόσμῳ κατέχεσθαι.* Πρβλ. ὅμοιος, ἰσοταγής.

**Ὀμφαίη** (ἀντίθ. *Σωπή*). Ἡ Ἱερὴ Φωνή (προσωποπ.), Holy Voice (personif.), Ἐμπεδοκλῆς 123.3 *Κινώ τ' Ἀστεμφής τε, πολυστέφανός τε Μεγιστὼ καὶ Φορύη, Σωπή τε καὶ Ὀ μ φ α ί η.*

**ὀμφαλός.** Ὀμφαλὸς/ἀφαλός, navel, Φιλόλαος 13.2-5 τέσσαρες ἀρχαὶ τοῦ ζῴου τοῦ λογικοῦ ... *κεφαλὰ μὲν νόου, καρδία δὲ ψυχᾶς καὶ αἰσθήσιος, ὀ μ φ α λ ὸ ς δὲ ῥιζώσιος καὶ ἀναφύσιος τοῦ πρώτου ... ἐγκέφαλος δὲ* ⟨σαμαίνει⟩ *τὰν ἀνθρώπω ἀρχάν, καρδία δὲ τὰν ζώου, ὀ μ φ α λ ὸ ς δὲ τὰν φυτοῦ* Δημόκριτος 148 *ὁ γὰρ ὀ μ φ α λ ὸ ς πρῶτον ἐν μήτρῃσιν ... ἀγκυρηβόλιον σάλου καὶ πλάνης ἐμφύεται, πεῖσμα καὶ κλῆμα τῷ γεννωμένῳ καρπῷ καὶ μέλλοντι.*

**ὁμῶς 1.** Ὅμοια/ἐπίσης, at the same time/as well, Παρμενίδης 6.7 *ἀμηχανίη γὰρ ἐν αὐτῶν στήθεσιν ἰθύνει πλακτὸν νόον.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

οἱ δὲ φοροῦνται κωφοὶ ὁ μ ῶ ς τυφλοί τε, τεθηπότες, ἄκριτα φῦλα Ἀρχύτας 4.5 καὶ ἃ ἐκλείπει αὖ ἁ γεωμετρία, καὶ ἀποδείξιας ἁ λογιστικὰ ἐπιτελεῖ καὶ ὁ μ ῶ ς, εἰ μὲν εἰδέων τεὰ πραγματεία, καὶ τὰ περὶ τοῖς εἴδεσιν **2.** Ὁμοια/ἑνιαῖα, similarly/uniformly, Παρμενίδης 8.49 οἷ γὰρ πάντοθεν ἶσον, ὁ μ ῶ ς ἐν πείρασι κύρει. || **εἰς ὁμόν.** Παρμενίδης 8.47 ἱκνεῖσθαι ε ἰ ς ὁ μ ό ν.

**ὄναρ** (ἀντίθ. *ὕπαρ*). Στὸν ὕπνο/σὲ ὄνειρο, in sleep/in a dream, Δημόκριτος 174 *ὁ μὲν εὔθυμος εἰς ἔργα ἐπιφερόμενος δίκαια καὶ νόμιμα καὶ ὕπαρ καὶ ὄ ν α ρ χαίρει τε καὶ ἔρρωται καὶ ἀνακηδής ἐστιν.*

**ὄνειδος** (συνών. *ψόγος*) **1.** Ὄνειδος/καταισχύνη, ignominy, Ξενοφάνης 11.2 *πάντα θεοῖσ' ἀνέθηκαν Ὅμηρος θ' Ἡσίοδός τε, ὅσσα παρ' ἀνθρώποισιν ὀ ν ε ί δ ε α καὶ ψόγος ἐστίν, κλέπτειν μοιχεύειν τε καὶ ἀλλήλους ἀπατεύειν* **2.** Ὄνειδος/ἀτιμία, dishonour, Δημόκριτος 218 *πλοῦτος ἀπὸ κακῆς ἐργασίης περιγινόμενος ἐπιφανέστερον τὸ ὄ ν ε ι δ ο ς κέκτηται.*

**ὀνήιστος 1.** Ἀξιώτατος/ἐξαίρετος, most worthy / distinguished, Ἡράκλειτος 121 *Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀ ν ή ι σ τ ο ν ἐξέβαλον φάντες· ἡμέων μηδὲ εἷς ὀ ν ή ι σ τ ο ς ἔστω, εἰ δὲ μή, ἄλλη τε καὶ μετ' ἄλλων* **2.** Χρησιμώτατος/ὠφελιμώτατος, most useful/most profitable, Ἀναξαγόρας 4.9 *καὶ τὴν γῆν αὐτοῖσι φύειν πολλά τε καὶ παντοῖα, ὧν ἐκεῖνοι τὰ ὀ ν ή ι σ τ α συνενεγκάμενοι εἰς τὴν οἴκησιν χρῶνται.* Πρβλ. *ἄριστος, ἐσθλός, χρηστός, χρήσιμος.*

**ὄνομα 1.** Ὄνομα/ἔννοια, name/signification, Ἡράκλειτος 23 *Δίκης ὄ ν ο μ α οὐκ ἂν ᾔδεσαν, εἰ ταῦτα μὴ ἦν* 32 *ἓν τὸ σοφὸν μοῦνον λέγεσθαι οὐκ ἐθέλει καὶ ἐθέλει Ζηνὸς ὄ ν ο μ α* **2.** Ὄνομα/ὀνομασία, name/naming, Ἡράκλειτος 48 *τῷ οὖν τόξῳ ὄ ν ο μ α βίος, ἔργον δὲ θάνατος* Παρμενίδης 8.38 *τῷ πάντ' ὄ ν ο μ (α) ἔσται, ὅσσα βροτοὶ κατέθεντο πεποιθότες εἶναι ἀληθῆ, γίγνεσθαί τε καὶ ὄλλυσθαι, εἶναί τε καὶ οὐχὶ* 19.3 *τοῖς δ' ὄ ν ο μ' ἄνθρωποι κατέθεντ' ἐπίσημον ἑκάστῳ* Δημόκριτος 283 *πενίη πλοῦτος ὀ ν ό μ α τ α ἐνδείης καὶ κόρου· οὔτε οὖν πλούσιος ⟨ὁ⟩ ἐνδέων οὔτε πένης ὁ μὴ ἐνδέων.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ